ρημάτων, εἰς ἐπίκρισιν ἡμᾶς τῶν ἐπιφερομένων λόγων κινεῖν πεφύκασι, καὶ ὑπερεθίζειν. Οὓς ἀκριβοῦντες καὶ ἀσπαζόμενοι, οὐδὲν ἧττον καὶ αὐτοὶ κατὰ τοὺς τὸ πρῶτον εἰσηγησαμένους, τοῦ καλοῦ τῆς φιλοσοφίας ἐν ἀπολαύσει ἐσόμεθα.

# ΠΡΟΔΙΑΤΡΙΒΗ ΤΕΤΑΡΤΗ.

## Ἥτις ποτὲ ἐστὶν ἡ Φιλοσοφία. Καὶ ὅσα αὐτῆς τὰ Μέρη. Ἥτε τάξις τῆς περὶ αὐτὴν πραγματείας, καὶ ἡ ἐξ αὐτῆς ὄνησις.

§. α΄.

Ἡ μὲν οὖν Φιλοσοφία, ἣν Σοφίαν τὸ πρὶν καλουμένην, πρῶτος ὁ Πυθαγόρας εἰς τοῦτο φέρεται μετονομάσας (ἐν Ἀφηγ. Προεισοδ. §. ιβ΄.) οὐδὲν ἄλλο, ὡς ὁλοσχερῶς εἰπεῖν, καθ' ἡμᾶς σημαίνει, ἢ αὐτὸ τῶν παρ' ἀνθρώποις κατ' Ἐπιστήμην νοουμένων (§. Προδ. Γ΄. §. ιέ.) τὸ πλήρωμα (1). Τούτου χάριν οὐδ' ἐπίσης ἅπασι τοῦ δαιμονίου

τοῦδε

(1) Ἐκ τοῦδε δὴ τοῦ πληρώματος, καὶ τέχνη τεχνῶν, καὶ Ἐπιστήμη Ἐπιστημῶν ἡ Φιλοσοφία ἐξύμνηται, μηδὲ τῶν τεχνῶν ἐξ αὐτῆς ἀποκλειομένων, ἐπεὶ καὶ πᾶσαι τέχναι παρὰ τῆς Φιλοσοφίας λαμβάνουσι τὰς ἀρχάς, ὡς ὁ Βλεμμ. ὀρθῶς δήπου τόδε σεσημείωκεν Ἐπιτ. Λογ. Κεφ. δ΄. Καὶ πρὸ τούτου Συνέσ. ἐν τῷ Δίωνι. „Τίνος ἂν εἴη „τέχνη, καὶ Ἐπιστήμη τέχνης, ἢ Ἐπιστήμης, ἧς ἐν τῷ λόγῳ τοῦ εἶναι, τὸ „πάσαις ἐποχεῖσθαι παραλαμβάνεται. „Εἰ μὴ φιλοκρινοίητε αὐτάς, καὶ τὴν „μὲν ἐκ περιωπῆς ἀποσκοποῖτο, τὴν δὲ „καὶ πρόσω ἰούσαν, περιεργάζοιτο, δο„ρυφοροῖτο δ' ὑφ' ἁπασῶν, ὥσπερ ἔοικε τῇ βασιλίδι; τὰς δὲ Μούσας οὐχ ὁ„μοῦ τε οὔσας ἐμφαίνει τὸ ὄνομα, θεῶν „καλεσάντων, ἢ ἀνθρώπων γε Θεοῦ φύ„σει χρωμένων; χορός τε εἰσὶ δι' αὐ„τὴν δήπου τὴν σύνοδον. Μία δὲ αὐτῶν „οὐδεμιᾶς χωρίς, οὔτ' ἐν συμποσίῳ Θεῶν, „ἐπιδείκνυται τὸ οἰκεῖον ἔργον, οὔτε „τυγχάνει παρὰ ἀνθρώποις βωμοῦ καὶ „νεώ. Καίτοι τινὲς φύσεως ἐνδείᾳ κατακερματίζουσιν αὐτῶν τὸ χωρίζεσθαι „μὴ δυνάμενον. Καὶ ἕτερος ἑτέρας ἐπή„βολος γέγονεν. Ἀλλὰ Φιλοσοφία τοῦ ἐπὶ πάσαις ἐστίν.



τοῦδε χρήματος μετεῖναι εἰκός, ἀλλ' ᾧ μὲν μᾶλλον, ᾧ δ' ἧττον, ᾧ δ' ἥκιστα τὰ πολλά, οὐδενὶ δὲ πάντη· ἀνεξαντλήτου μὲν τῆς ἐν ἀνθρώποις οὔσης Φιλοσοφίας, καὶ οὐδὲν πέρας ἐπὶ γῆς εὑρεῖν δυναμένης· τῷ δὲ πλήθει, καὶ τῷ μεγέθει τῶν γινωσκομένων, ἐν οἷς τε, καὶ περὶ ἃ αὐτὴ ἐνασχολεῖται, συμμετρουμένης ἀνάλογον.

§. β΄. Γνῶσιν ταύτην θείων τε καὶ ἀνθρωπίνων, οἱ ἐκ τῆς Στοᾶς ὡρίσαντο (1), τῇ ἀνωτάτῃ οἶμαι τῶν ὑποκειμένων διαιρέσει, περὶ ἃ ἀναστρέφεται, τό, τε ὑπερέχον αὐτῆς τοῦ ὕψους, καὶ τὸ διαβεβηκὸς τῆς ἐκτάσεως διασεμνύναντες. Τῶν γὰρ τῷ τε Ἀγαθῷ Δημιουργῷ, καὶ τῷ καλλίστῳ τῶν δημιουργημάτων, ἢ ὡς ἴδια, ἢ ὡς ἔργα, ἢ ἄλλως ὁπωσοῦν ἀνηκόντων, τί ἂν ἢ ἔξω γένοιτο, καὶ ἐπέκεινα; ἢ κρεῖττον ὅλως, καὶ τιμιώτερον;

§. γ΄. Τῆς δὲ Φιλοσοφίας καὶ λόγος ἕτερος φέρεται, οὐδὲν ἧττον τῶν ἀνωτέρω, ἀκριβείᾳ προήκων ἢ ἀρχαιότητι (2). Καθ' ὃν γνῶσις ὥρισται τῶν ὄντων, ᾗ ὄντα ἐστί. Διὰ γὰρ τοῦτο μιᾶς ἑκάστης τῶν Ἐπιστημῶν, ὡς ὅλον μέρους, ἡ Φιλοσοφία διέσταλται. Μέρος γὰρ ὁποιονοῦν τοῦ ὄντος, ἐκείνων ἑκάστη εἰς θεωρίαν ἔλαχεν, ἑαυτῇ ἀφοριαθέν- Ἥτε Μεταφυσικὴ ἀκέουσα, καὶ τὸ Ὂν αὐτὸ προστησαμένη, οὐ μὴν καὶ πάντα τρόπον αὐτοῦ κατεπαγγέλλεται τὴν διάγνωσιν, ἀλλ' ᾗ μόνον αὐτὸ λόγων τινῶν γενικωτάτων τυγχάνει συνεκτικόν. Ἡ δὲ Φιλοσοφία καὶ ἅπαντα, καὶ πάντα τρόπον καθ' ὃν γινώσκεσθαι αὐτὰ φύσιν ἔχει συμπεριείληφεν, ὡς ἄρα τῶν κατ' Ἐπιστήμην νοουμένων ἁπαξαπάντων οὖσα τὸ πλήρωμα (§. α΄.). Ἐπεὶ καὶ τὰ ὄντα πάντα γινώσκειν ἐθέλει, καὶ ᾗ ὄντα, τουτέστι κατὰ πάντας τοὺς λόγους, καθ' οὓς ἡ φύσις, καὶ τὸ εἶναι αὐτοῖς συγκεκρότηται. (3). Ἐξ ὧν οὐδὲν καινόν, οὐδὲ περιττὸν προχειρισάμενος φαίνεται, ὁ τὴν Φιλοσοφίαν γνῶσιν εἶναι τῶν δυνατῶν ᾗ δυνατά, οὐ πολὺ πρὸ ἡμῶν ἀποδε-

δω-

(1) Πλουτ. εἰς τὰ Ἀρεσκ. τοῖς Φιλοσοφ. ἐν Προοιμ. παρὰ δὲ τῷ Ἀμμωνίῳ καὶ εἰς Πλάτωνα ὁ ὁρισμὸς ἀναφέρεται, παρὰ δὲ τῷ Βλεμμίδῃ, καὶ εἰς Πυθαγόραν.

(2) Οὗτος γὰρ τοῦ Πυθαγόρου λέγεται εἶναι. Βλεμ. Κ. δ΄.

(3) Γνῶσις τῶν ὄντων, ᾗ ὄντα ἐστίν. Ἀντὶ τοῦ καθὸ φύσεως ἔχουσιν ἕκαστα. Οὐ μὴν ἀριθμοῦ καὶ ἰδιότητος (νοητέον Ἀτομικῆς). Βλεμμίδ. Κ. δ΄. Οὕτως ἐξειληφέναι τὸν ὁρισμὸν δῆλος ἐστὶ καὶ ὁ Θεῖος Δαμασκηνός. Διαλεκτικ. Κεφ. γ΄.